λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος (σὺν τοῖς νεφροῖς περιελών) [11]ἀνοίσει 11
ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον· ὀσμὴ εὐωδίας, κάρπωμα κυρίῳ.
[12]Ἐὰν δὲ ἀπὸ τῶν αἰγῶν τὸ δῶρον αὐτοῦ, καὶ προσάξει ἔναντι 12
κυρίου [13]καὶ ἐπιθήσει τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ σφά- 13
ξουσιν αὐτὸ ἔναντι κυρίου παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρ-
τυρίου, καὶ προσχεοῦσιν οἱ υἱοὶ Ααρων οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ
θυσιαστήριον κύκλῳ. [14]καὶ ἀνοίσει ἐπ' αὐτοῦ κάρπωμα κυρίῳ, τὸ 14
στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς
κοιλίας [15]καὶ ἀμφοτέρους τοὺς νεφροὺς καὶ πᾶν τὸ στέαρ τὸ ἐπ' 15
αὐτῶν τὸ ἐπὶ τῶν μηρίων καὶ τὸν λοβὸν τοῦ ἥπατος (σὺν τοῖς
νεφροῖς περιελεῖ), [16]καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον· κάρ- 16
πωμα, ὀσμὴ εὐωδίας τῷ κυρίῳ. πᾶν τὸ στέαρ τῷ κυρίῳ· [17]νόμι- 17
μον εἰς τὸν αἰῶνα εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ κατοικίᾳ ὑμῶν·
πᾶν στέαρ καὶ πᾶν αἷμα οὐκ ἔδεσθε.
[1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [2]Λάλησον πρὸς 4
τοὺς υἱοὺς Ισραηλ λέγων Ψυχὴ ἐὰν ἁμάρτῃ ἔναντι κυρίου ἀκου-
σίως ἀπὸ τῶν προσταγμάτων κυρίου, ὧν οὐ δεῖ ποιεῖν, καὶ ποιή-
σῃ ἕν τι ἀπ' αὐτῶν· [3]ἐὰν μὲν ὁ ἀρχιερεὺς ὁ κεχρισμένος ἁμάρ- 3
τῃ τοῦ τὸν λαὸν ἁμαρτεῖν, καὶ προσάξει περὶ τῆς ἁμαρτίας αὐτοῦ,
ἧς ἥμαρτεν, μόσχον ἐκ βοῶν ἄμωμον τῷ κυρίῳ περὶ τῆς ἁμαρ-
τίας αὐτοῦ. [4]καὶ προσάξει τὸν μόσχον παρὰ τὴν θύραν τῆς σκη- 4
νῆς τοῦ μαρτυρίου ἔναντι κυρίου καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ
ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου ἔναντι κυρίου καὶ σφάξει τὸν μό-
σχον ἐνώπιον κυρίου. [5]καὶ λαβὼν ὁ ἱερεὺς ὁ χριστὸς ὁ τετελειω- 5
μένος τὰς χεῖρας ἀπὸ τοῦ αἵματος τοῦ μόσχου καὶ εἰσοίσει αὐτὸ
ἐπὶ τὴν σκηνὴν τοῦ μαρτυρίου· [6]καὶ βάψει ὁ ἱερεὺς τὸν δάκτυλον 6
εἰς τὸ αἷμα καὶ προσρανεῖ ἀπὸ τοῦ αἵματος ἑπτάκις ἔναντι κυρίου
κατὰ τὸ καταπέτασμα τὸ ἅγιον· [7]καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ 7
αἵματος τοῦ μόσχου ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τοῦ θυμιά-
ματος τῆς συνθέσεως τοῦ ἐναντίον κυρίου, ὅ ἐστιν ἐν τῇ σκηνῇ
τοῦ μαρτυρίου· καὶ πᾶν τὸ αἷμα τοῦ μόσχου ἐκχεεῖ παρὰ τὴν βά-
σιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, ὅ ἐστιν παρὰ τὰς θύ-
ρας τῆς σκηνῆς τοῦ μαρτυρίου. [8]καὶ πᾶν τὸ στέαρ τοῦ μόσχου 8
τοῦ τῆς ἁμαρτίας περιελεῖ ἀπ' αὐτοῦ, τὸ στέαρ τὸ κατακαλύπτον
τὰ ἐνδόσθια καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐνδοσθίων [9]καὶ τοὺς 9
δύο νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, ὅ ἐστιν ἐπὶ τῶν μηρίων,
καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος (σὺν τοῖς νεφροῖς περιελεῖ αὐτό),
[10]ὃν τρόπον ἀφαιρεῖται ἀπὸ τοῦ μόσχου τοῦ τῆς θυσίας τοῦ 10

11 οσμην A || 13 αυτο] -τον A† || 14 καλυπτον A || 15 παν > A
4 3 τον > B*A† || 5 οισει A† | επι] εις B$^c$ || 7 εναντιον B†] -τι A
|| 8 παν το 1$^0$] tr. A† || 9 ο εστιν] το A || 10 αφαιρειται M] -τε αυτο
B†, αφελειται A†